UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Hermogeni Episcopo. 99.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ζοντα. λόγῳ μὲν αἰδοῦμαι λέγειν. αὐτὸς δ' οὐκ οἶδ' ὅπως πράττειν οὐκ ἐρυθριᾷς. εἰ τοίνυν ἀληθεύουσιν, ἀρίστην κἂν ἐπὶ γήρως δεῖξον μεταβολήν, ἵνα κἀκεῖνοι παυσάμενοι τῆς κωμῳδιῶν, παλινῳδίαν ᾄσοιεν.

tatis magnitudine obſcurare: ea videlicet perpetrantem, quæ ipſe quidem dicere prępudore non ſuſtineo, tu autem, haud ſcio quo pacto perpetrare non erubeſcis. Quare ſi verus eſt hic rumor, optimam in ſenili quoque ætate mutationem oſtende: quo illi etiã, qui hæc de te dictitant, cauillis ſuis finem imponentes, orationem retexant.

Στρατηγίῳ μοναχῷ. ϛη.

Ἤσθην ὑπερφυῶς πυθόμενος τὴν σὴν ἐπὶ τὸ κρεῖττον προκοπήν, καὶ τοὺς φίλους συνησθῆναι παρεσκεύασα, τὴν εὐκταιοτάτην αὐτοῖς καὶ ἐρασμιωτάτην εὐαγγελισάμενος ἀκοήν. εἰ τοίνυν βούλει, ἡμᾶς μὲν ἐπὶ πλεῖον πανηγυρίζειν. ἥδιον γὰρ τὰς σὰς ἑορτάζομεν εὐδοκιμήσεις. σαυτῷ δὲ κλέος οὐρανόμηκες κατασκευάσαι μὴ παύσοιο ταῦτα θηρώμενος, ἃ καὶ παρὰ θεῷ εὔδοκιμον, καὶ παρὰ ἀνθρώποις ἀοίδιμόν σε παρασκευάσει.

*Strategio Monacho.* 98.

Poſteaquàm tuum in virtute progreſsũ intellexi, incredibilem quandam ex ea re voluptatem cepi, atque optatiſſimo ac deſideratiſſimo hoc nuncio ad amicos miſſo, vt ipſi quoque voluptate perfunderentur, effeci. Quocirca ſi nos diutiùs gaudere ac lætitia diffundi (tuas enim laudes ingenti cum animi voluptate celebramus) etiam ampliſſimam tibi gloriam comparare cupis, ea ſine vlla intermiſſione aucupare, quæ te, & apud Deum clarum, & apud homines celebrem redditura ſunt.

Ἑρμογένει ἐπισκόπῳ. ϛθ.

Οἱ τῷ κανόνι τοὺς μὴ κανόνας προσάγοντες, καὶ διὰ τοῦτο τὸν καὶ τοὺς ἄλλους κανονίσαι δίκαιον ὄντα δοκιμάζοντες, οὔ μοι δοκοῦσι τὴν κρίσιν τῶν πραγμάτων ἔχειν ὀρθήν. ἐπειδὴ γὰρ ἐκακώθησαν τὸ λογιστικὸν τῆς ψυχῆς δι' ἑκουσίας νόσου, σφάλλονται λοιπὸν καὶ περὶ τὴν κρίσιν τῶν πραγμάτων. τῷ γοῦν δικαίῳ, καὶ ἀνδρείῳ, καὶ τοῖς ἁμαρτάνουσι φοβερῷ, τῦφον καὶ ὀφρῦν ἐπιφημίζουσι. διὰ τοῦτο πᾶσι τοῖς τῆς ἀρετῆς ἐρασταῖς, τὸν εἰς αὐτὴν δρόμον ἐγκόψαι μηχανώμενοι. τῇ γὰρ συνεγγὺς κακίᾳ τὴν ἀρετὴν ὀνομάζειν τολμῶσιν. οὐκοῦν μεμφέσθωσαν οἱ τοιοῦτοι, καὶ τῷ λέοντι, ὅτι βλοσυρόν, καὶ βασιλικόν, καὶ οὐ πιθήκειον βλέπει, καὶ τοὺς μίμους τῶν γελοίων ἀποδεχέσθωσαν, ὅτι γέλωτα κινοῦσιν ἄτοπον.

*Hermogeni Epiſcopo.* 99.

Qui regulæ eos, qui regulæ non ſunt, admonent, ob eámque cauſam eum, qui alios quoque formare atque ad regulam dirigere meretur, examinant, rectum de rebus iudicium habere minimè mihi videntur. Quoniam enim per ſpontaneum morbum vitiatam eam animi partem habent, in qua rationi ſedes eſt, idcirco fit, vt in rerum quoque iudicio deinceps errore labantur. Iuſto quippe ac forti viro, ac ſceleratis formidabili, faſtum ac ſupercilium attribuunt: hinc ſcilicet omnibus virtutis ſtudioſis curſum ad eã interrumpere molientes. Siquidem virtutem propinqui vitij nomine appellare minimè dubitant. Quocirca eiuſmodi homines leonẽ quoque reprehendant, quòd rigidum quendam ac regium, non autem ſimiarum ſimilem, vultum præferat: ac contrà hiſtriones & ſcurras laudent, quòd abſurdum riſum excitent.